οἰκτροτάτοισιν δακρύοισιν,
πολιὸν αἰθέρος ἀφανὲς εἴδωλον ἢ
νέκυν ἔνερθεν ἢ
πτανὸν ὄνειρον;
ΑΝ. δυστυχὲς ἀγγελίας ἔπος οἴσει,
πάτερ, οὐκέτι σοι τέκνα λεύσσει
φάος οὐδ᾽ ἄλοχος, παραβάκτροις
ἃ πόδα σὸν τυφλόπουν θεραπεύμασιν αἰὲν ἐμόχθει,
ὦ πάτερ, ὤμοι.
ΟΙ. ὤμοι ἐμῶν παθέων· πάρα γὰρ στενάχειν τάδ᾽, ἀυτεῖν.
τρισσαὶ ψυχαὶ ποίᾳ μοίρᾳ
πῶς ἔλιπον φάος, ὦ τέκνον, αὔδα.
ΑΝ. οὐκ ἐπ᾽ ὀνείδεσιν οὐδ᾽ ἐπιχάρμασιν,
ἀλλ᾽ ὀδύναισι λέγω· σὸς ἀλάστωρ
ξίφεσιν βρίθων
καὶ πυρὶ καὶ σχετλίαισι μάχαις ἐπὶ παῖδας ἔβα σούς,
ὦ πάτερ, ὤμοι.
ΟΙ. αἰαῖ. ΑΝ. τί τάδε καταστένεις;
ΟΙ. τέκνα. ΑΝ. δι᾽ ὀδύνας ἔβας,
εἰ τὰ τέθριππά γ᾽ ἔθ᾽ ἅρματα λεύσσων
ἀελίου τάδε σώματα νεκρῶν
ὄμματος αὐγαῖς σαῖς ἐπενώμας.
ΟΙ. τῶν μὲν ἐμῶν τεκέων φανερὸν κακόν·
ἁ δὲ τάλαιν᾽ ἄλοχος τίνι μοι, τέκνον, ὤλετο μοίρᾳ;
ΑΝ. δάκρυα γοερὰ φανερὰ πᾶσι τιθεμένα,
τέκεσι μαστὸν
ἔφερεν ἔφερεν ἱκέτις ἱκέτιν ὀρομένα.

---

1542. δάκρυσι B 1548. ἃ παρὰ βάκτροις sive παραβάκτροις libri. 1550. ὦ] addidit Hermannus. 1549. γρ. πόδα σὸν τυφλόν a 1551. ὤμοι μοι ἐμῶν γρ. ὦ μοι ἐγὼ παθέων A ὤ μοι μοι τῶν ἐμῶν B ὤμοι μοι ἐμῶν F ὤμοι ἐμῶν c ὤμοι μοι ἐμῶν C 1556. σός] metricus cod. Kingiani, ὁ σός libri. 1558. γράφεται καὶ φονίαισι μάχαις a 1559. ὦ πάτερ, ὤμοι. ΟΙ. αἰαῖ] Hermannus, ὦ πάτερ. ΟΙ. ἰώ μοι αἶ αἶ γρ. ὤμοι ἐγώ A ὦ πάτερ ΟΙ. ἰώ μοι αἴ αἴ B ὦ πάτερ ΟΙ. ἰώ μοι μοι αἶ αἶ αἶ αἶ F ὦ πάτερ ΟΙ. ἰώ μοι αἴ αἴ c C 1562. γ᾽ ἔθ᾽] Hermannus, γ᾽ ἐς libri. 1569. ἱκέτιν A ἱκέταν vel ἱκέτην ceteri. ὀρομένα γρ. αἰρομένα A αἰρομένα ceteri. schol.: γράφεται δὲ καὶ ὀρομένα.